𝔊 σιλεία σου, συντέτμηται καὶ συντετέλεσται ἡ βασιλεία σου, τοῖς
Μήδοις καὶ τοῖς Πέρσαις δίδοται. [29]τότε Βαλτασαρ ὁ βασιλεὺς 29
ἐνέδυσε τὸν Δανιηλ πορφύραν καὶ μανιάκην χρυσοῦν περιέθηκεν
αὐτῷ καὶ ἔδωκεν ἐξουσίαν αὐτῷ τοῦ τρίτου μέρους τῆς βασιλείας
αὐτοῦ. [30]καὶ τὸ σύγκριμα ἐπῆλθε Βαλτασαρ τῷ βασιλεῖ, καὶ τὸ 30
βασίλειον ἐξῆρται ἀπὸ τῶν Χαλδαίων καὶ ἐδόθη τοῖς Μήδοις καὶ
τοῖς Πέρσαις. [1]καὶ Ἀρταξέρξης ὁ τῶν Μήδων παρέλαβε τὴν βα- 6
σιλείαν.
Καὶ Δαρεῖος πλήρης τῶν ἡμερῶν καὶ ἔνδοξος ἐν γήρει· [2]καὶ 2
κατέστησε σατράπας ἑκατὸν εἴκοσι ἑπτὰ ἐπὶ πάσης τῆς βασιλεί-
ας αὐτοῦ [3]καὶ ἐπ᾽ αὐτῶν ἄνδρας τρεῖς ἡγουμένους αὐτῶν, καὶ 3
Δανιηλ εἷς ἦν τῶν τριῶν ἀνδρῶν [4]ὑπὲρ πάντας ἔχων ἐξουσίαν 4
ἐν τῇ βασιλείᾳ. καὶ Δανιηλ ἦν ἐνδεδυμένος πορφύραν καὶ μέγας
καὶ ἔνδοξος ἔναντι Δαρείου τοῦ βασιλέως, καθότι ἦν ἔνδοξος καὶ
ἐπιστήμων καὶ συνετός, καὶ πνεῦμα ἅγιον ἐν αὐτῷ, καὶ εὐοδού-
μενος ἐν ταῖς πραγματείαις τοῦ βασιλέως, αἷς ἔπρασσε. τότε ὁ
βασιλεὺς ἐβουλεύσατο καταστῆσαι τὸν Δανιηλ ἐπὶ πάσης τῆς βα-
σιλείας αὐτοῦ καὶ τοὺς δύο ἄνδρας, οὓς κατέστησε μετ᾽ αὐτοῦ,
καὶ σατράπας ἑκατὸν εἴκοσι ἑπτά. [5]ὅτε δὲ ἐβουλεύσατο ὁ βασιλεὺς 5
καταστῆσαι τὸν Δανιηλ ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ, τότε βου-
λὴν καὶ γνώμην ἐβουλεύσαντο ἐν ἑαυτοῖς οἱ δύο νεανίσκοι πρὸς
ἀλλήλους λέγοντες, ἐπεὶ οὐδεμίαν ἁμαρτίαν οὐδὲ ἄγνοιαν ηὕρισκον

---

θ′ καὶ εὑρέθη ὑστεροῦσα· [28]φαρες, διῄρηται ἡ βασιλεία σου καὶ ἐδόθη 28
Μήδοις καὶ Πέρσαις. [29]καὶ εἶπεν Βαλτασαρ καὶ ἐνέδυσαν τὸν Δα- 29
νιηλ πορφύραν καὶ τὸν μανιάκην τὸν χρυσοῦν περιέθηκαν περὶ
τὸν τράχηλον αὐτοῦ, καὶ ἐκήρυξεν περὶ αὐτοῦ εἶναι αὐτὸν ἄρχοντα
τρίτον ἐν τῇ βασιλείᾳ. [30]ἐν αὐτῇ τῇ νυκτὶ ἀνῃρέθη Βαλτασαρ ὁ 30
βασιλεὺς ὁ Χαλδαίων.
[1]Καὶ Δαρεῖος ὁ Μῆδος παρέλαβεν τὴν βασιλείαν ὢν ἐτῶν ἑξή- 6
κοντα δύο. [2]καὶ ἤρεσεν ἐνώπιον Δαρείου καὶ κατέστησεν ἐπὶ τῆς 2
βασιλείας σατράπας ἑκατὸν εἴκοσι τοῦ εἶναι αὐτοὺς ἐν ὅλῃ τῇ βα-
σιλείᾳ αὐτοῦ [3]καὶ ἐπάνω αὐτῶν τακτικοὺς τρεῖς, ὧν ἦν Δανιηλ εἷς 3
ἐξ αὐτῶν, τοῦ ἀποδιδόναι αὐτοῖς τοὺς σατράπας λόγον, ὅπως ὁ
βασιλεὺς μὴ ἐνοχλῆται· [4]καὶ ἦν Δανιηλ ὑπὲρ αὐτούς, ὅτι πνεῦμα 4
περισσὸν ἐν αὐτῷ, καὶ ὁ βασιλεὺς κατέστησεν αὐτὸν ἐφ᾽ ὅλης τῆς
βασιλείας αὐτοῦ. [5]καὶ οἱ τακτικοὶ καὶ οἱ σατράπαι ἐζήτουν πρό- 5
φασιν εὑρεῖν κατὰ Δανιηλ· καὶ πᾶσαν πρόφασιν καὶ παράπτωμα

29 ειναι] pr. του A pau.: post αυτου | βασιλεια] + αυτου A | fin.] + subscr. ορασις ς′ A || 30 init.] pr. inscr. ορασις ζ′ A | ο βασ. ο χαλδ. > A(†)
6 2 ολη] παση A† || 3 ων] ος B || 4 περισσον] + ην A | εν] επ A†